μὴ κεύθετ' ἔνδον καρδίας φόβῳ τινός·
τὸ μόρσιμον γὰρ τόν τ' ἐλεύθερον μένει
καὶ τὸν πρὸς ἄλλης δεσποτούμενον χερός.
λέγοις ἄν, εἴ τι τῶνδ' ἔχεις ὑπέρτερον.
ΧΟ. αἰδουμένη σοῦ βωμὸν ὡς τύμβον πατρὸς
λέξω, κελεύεις γάρ, τὸν ἐκ φρενὸς λόγον.
ΗΛ. λέγοις ἄν, ὥσπερ ᾐδέσω τάφον πατρός.
ΧΟ. φθέγγου χέουσα κεδνὰ τοῖσιν εὔφροσι.
ΗΛ. τίνας δὲ τούτους τῶν φίλων προσεννέπω;
ΧΟ. πρῶτον μὲν αὑτὴν χὤστις Αἴγισθον στυγεῖ.
ΗΛ. ἐμοί τε καὶ σοί τἄρ' ἐπεύξωμαι τάδε;
ΧΟ. αὐτὴ σὺ ταῦτα μάνθαν'· οὐκ ἐμὸν φράσαι.
ΗΛ. τίν' οὖν ἔτ' ἄλλον τῇδε προστιθῶ στάσει;
ΧΟ. μέμνησ' Ὀρέστου, κεἰ θυραῖός ἐσθ' ὅμως.
ΗΛ. εὖ τοῦτο κἀφρένωσας οὐχ ἥκιστά με.
ΧΟ. τοῖς αἰτίοις νυν τοῦ φόνου μεμνημένη —
ΗΛ. τί φῶ; δίδασκ' ἄπειρον ἐξηγουμένη.
ΧΟ. ἐλθεῖν τιν' αὐτοῖς δαίμον' ἢ βροτῶν τινα
ΗΛ. πότερα δικαστὴν ἢ δικηφόρον λέγω;

102. ἔνδον καρδίας] Qu. ἐντὸς καρδίας.

105. ἔχοις mss. Bamb. Con. Sidg. ἔχεις Jacobs. Blom. Herm. Dind. Pal. Weckl. etc. Cf. Suppl. 925. κλάοις ἄν, εἰ ψαύσειας. Ag. 1049. 1394. Sed cf. 668. λέγοιτ' ἄν, εἴ τι δεῖ (non δέοι). Soph. Ant. 375. μήτ' ἐμοὶ παρέστιος γένοιτο — ὃς τάδ' ἔρδει. Eur. Her. 327. ἕνα γὰρ — εὕροις ἂν ὅστις ἐστὶ μὴ χείρων πατρός. Versum delent Sch. Weckl.

106. αἰδουμένη Herm. σοι M. τοι Dind. σοῦ Heyse.

108. Hunc versum languidum delet H. Wolf. Sed cf. Soph. Oed. R. 205.

109. ΧΟ. in G. lineola in M. σεμνὰ mss. κεδνὰ Hart. Weil. Sidg. Recte. Schol. εὖξαι ἀγαθά. Qu. ἐσθλά. Cf. Ag. 608. ἐσθλὴν ἐκείνῳ, πολεμίαν τοῖς δύσφροσιν. τοῖσιν εὔφροσιν mss. τοῖσιν εὔφροσι Turn.

111. πρῶτον μὲν αὑτὴν] Fort. πρῶτον σεαυτήν. Sed cf. Ag. 1544. κτείνασ' ἄνδρα τὸν αὑτῆς.

112. ἐπεύξομαι mss. ἐπεύξωμαι Dobr. Dind. Recte. τ' ἄρ' M.

113. μανθάνουσ' ἤδη φράσαι mss. μανθάνουσ' ἤδη 'φρασας Naber (quum incongruum hic sit verbum medium φράζεσθαι). μάνθαν'· οὐκ ἐμὸν φράσαι optime Oberdick. Fort. — οὐκ ἐμοῦ φράσαι. Vel μανθάνουσ' ἤδη φράσον. Cf. 121. Similis locus est Arist. Nub. 736. ΣΤΡ. περὶ τοῦ (φροντίσω); σὺ γάρ μοι τοῦτο φράσον, ὦ Σώκρατες. | ΣΩ. αὐτὸς ὅ τι βούλει πρῶτον ἐξευρὼν λέγε.

116. τοῦτο κἀφρένωσας] Qu. τοῦτο δὴ 'φρένωσας aut τοῦτό γ' ἐφρένωσας. Construe τοῦτο οὐχ ἥκιστα. Qu. τοῦτό μ' ἐφρένωσας οὐ λελησμένην.

120. λέγεις mss. Dind. etc. Leg. λέγω. Ita etiam Weil. Weckl.